Ξανθ. Οἶδ' οἶδα τὸν νοῦν. παῦε παῦε τοῦ λόγου.
Οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν. Δι. μηδαμῶς,
Ὦ Ξανθίδιον. Ξανθ. καὶ πῶς ἂν Ἀλκμήνης ἐγὼ
Υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;
Δι. Οἶδ' οἶδ' ὅτι θυμεῖ, καὶ δικαίως αὐτὸ δρᾷς.
Κἂν εἴ με τύπτοις, οὐκ ἂν ἀντείποιμί σοι.
Ἀλλ' ἤν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,
Πρόρριζος αὐτός, ἡ γυνή, τὰ παιδία,
Κάκιστ' ἀπολοίμην, κ' Ἀρχέδημος ὁ γλάμων.
Ξανθ. Δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.

A XA. *Noui, noui animum tuum: desiste iam loqui.*
*Nolim ego iam esse Hercules.* BA. *minimè isthuc dixeris,*
*Mi Xantisce.* XA. *at quomodo ego Alcmenæ sim filius,*
*Homo seruus, & simul mortalis?* BA. *scio, scio,*
*Quòd irascaris mihi, neque foritè iniuria.*
B *At verberes me licet, ego non tibi obloquar.*
*Nam si posthac vllo vnquam tempore te deseram,*
*Tum & ego, & vxor, liberiq́, & lippiens*
*Ille Archedemus pereamus radicitus.*
XA. *Accipio iusiurandum; ac proin' vestem induo.*

Σχόλια. Καὶ πῶς ἂν Ἀλκμήνης.] ἅπερ πρὸς αὐτὸν ὁ Διόνυσος πρότερον ἔλεγε, ταῦτα λέγει καὶ αὐτὸς εἰρωνευόμενος καὶ παίζων. Γλάμων] ὁ ἔχων λήμας. ὁ ἀκάθαρτος. παρόσον ἐρώμενος φασιν τοῦ Διονύσου. C Καλλίστρατός φησιν, ὅτι οὕτως ἐκαλεῖτο Γλάμων, ὡς Χάρων. ἄλλοι δέ, τὸ λημῶδη καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν Μάντεσιν ἐπὶ τινων ὀρνέων, τοὺς γλαμύρους καταφορβᾶν.

Bisetus. Ἀντῳδὴ καὶ ἀντιστροφὴ κώλων ί.

Χο. Νῦν σὸν ἔργον ἐστ', ἐπειδὴ
Τὴν στολὴν εἴληφας, ἥνπερ
Εἶχες ἐξ ἀρχῆς, πάλιν
Ἀνανεάζειν σαυτὸν ἀεὶ
Καὶ βλέπειν αὖθις τὸ δεινόν,
Τοῦ θεοῦ μεμνημένον
Ὅπερ εἰκάζεις σεαυτόν.
Εἰ δὲ παραληρῶν ἁλώσει,
Κἀκβαλεῖς τι μαλθακόν,
Αὖθις αἴρεσθαί σ' ἀνάγκη 'στὶ πάλιν τὰ στρώματα.

CH. *Nunc tuum est, quia induisti*
*Hanc stolam, qua fueras antè*
D *Cinctus, rursus ab initio*
*Iuuenilem exhibere mentem:*
*Et toruum tueri; & vsque*
*Meminisse illius Dei:*
*Cui tu assimulasti teipsum.*
*Sin per insipientiam de-*
*prendare, & agas mollius:*
*Rursum oportebit recipere te storeas & stragula.*

Σχόλια. Νῦν σὸν ἔργον.] εἴσθεσις μελῶν χοροῦ περιοδικὴ καὶ ἀντίστροφος ὁμοία τῇ προρρηθείσῃ. καὶ τὸ σύστημα τοῖς αὐτοῖς τῶν ἐν τῇ στροφῇ κατά τε ποσότητα καὶ ποιότητα κώλοις συγκείμενον ἔχουσα. ἧς ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. τὸ δὲ ἑξῆς, νῦν σὸν ἔργον ἐστὶ πάλιν ἀνανεάζειν.

E Bisetus. Νῦν σὸν] τινὲς ταῦτα τοῦ χοροῦ ἀνάπτουσι, καὶ πρὸς αὐτὸν ἀναφέρουσι, ὅπερ ἐκ τοῦ Ξανθίου ἀποκρίσεως δῆλον. διὸ τὸ τοῦ χοροῦ τῶν μυστῶν πρόσωπον ἐνταῦθα δεῖ παραγράφειν.

Σχόλια. Παραληρῶν.] ἀργός τι ποιῶν, καὶ οὐ τῆς Ἡρακλέους σκευῆς ἄξιον.

F

Bisetus. Σύστημα κατὰ περικοπὴν κώλων ί.

Ξα. Οὐ κακῶς ὦνδρες παραινεῖτ',
Ἀλλὰ καὐτὸς τυγχάνω ταῦ-
τ' ἄρτι συννοούμενος.
Ὅτι μὲν οὖν ἢν χρηστὸν ᾖ τι,
Ταῦτ' ἀφαιρεῖσθαι πάλιν πει-
ράσεταί μ', εὖ οἶδ' ὅτι.
Ἀλλ' ὅμως ἐγὼ παρέξω
Μαυτὸν ἀνδρεῖον τὸ λῆμα,
Καὶ βλέποντ' ὀρίγανον
Δεῖν δ' ἔοικεν, ὡς ἀκούω τῆς θύρας καὶ δὴ ψόφον.

XA. *Non sinistrè commonetis,*
*O amici, namque idipsum*
*Animus mihi præsagijt.*
*Atqui vbi appetet boni quid:*
*Rursum aufferre vestem hanc ille*
*Attentabit, sat scio.*
G *Sed virum tamen præbebo*
*Memet, atque animi potentem,*
*Ac tuentem origanum:*
*Et certè hoc facto opus est, quantum ianuæ strepitum audio.*

Σχόλια. Ὀρίγανον.] δριμύ. τοιοῦτον γὰρ τὸ φυτόν.

ΔΡΑ-